# Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: rye-aa

*Θεμίστιος ὁ Εὐφραδής* · Themistius the Philosopher

# Oration to Emperor Constantius on the Philosopher King

*Εἰς Κωνστάντιον τὸν αὐτοκράτορα, ὅτι μάλιστα*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Ἀττικίζουσα* Atticizing
**Domain:** *Φιλοσοφία* Philosophy
**Format:** *Λόγος* Oration
**Affiliation:** Eclectic

t 1 ΕΙΣ ΚΩΝΣΤΑΝΤΙΟΝ ΤΟΝ ΑΥΤΟΚΡΑΤΟΡΑ, ΟΤΙ ΜΑΛΙΣΤΑ ΦΙΛΟΣΟΦΟΣ Ο ΒΑΣΙΛΕΥΣ, Η ΧΑΡΙΣΤΗΡΙΟΣ Θεωρία Ἐπὶ τῷ κομισθέντι παρὰ τοῦ αὐτοκράτορος λόγῳ, ὃν ἔγραψε περὶ αὐτοῦ πρὸς τὴν γερουσίαν, τὸ χαριστήριον ἀποδίδωσι. [1]

24 b σκοπὸν δὲ προΐσταται τῶν ἐγκωμίων φιλοσοφώτατον, αὐτὸν ἀποδεικνὺς μᾶλλον τὸν βασιλέα φιλοσοφίας μετέχοντα, ἣν ἐπῄνεσε. καὶ παρίησι μὲν οὐδὲν τῶν εἰς ἔπαινον συντελούντων, ἅπαντα δὲ ἀνάγει πρὸς τὸ κεφάλαιον ὃ προεστήσατο, ἔστι μὲν οὖν ὅπου καὶ τὸ καθόλου κατασκευάζων, τὰ πλεῖστα δὲ τῶν ἐπιχειρημάτων μετιὼν ἐκ τῆς ὑποθέσεως τῆς παρούσης, ἁπανταχοῦ δὲ διατηρεῖν τὸ πρέπον ἀξίωμα φιλοσοφίᾳ πειρώμενος. [5]

24 c σχεδὸν γὰρ ὁ σκοπὸς τοῦ βιβλίου πρὸς τοῦτο ἀφεώρακεν. Ἆρα ἂν ὑμῖν, ὦ ἄνδρες, δοκοίην χρέους ἀποστερῶν φιλοσοφίας ἐνδίκως μεταποιεῖσθαι; καίτοι Ἀθήνησι τοὺς ὀφείλοντας τῷ δημοσίῳ εἴργει ὁ νόμος μὴ κοινωνεῖν τῆς πολιτείας, ἕως ἂν τὸ ὀφείλημα ἀπολύσωνται. [3]

25 a ἐγὼ δὲ καὶ αὐτὸς ὀφλισκάνω τε καὶ ἐγγέγραμμαι οὐ μὰ Δία τῷ δημοσίῳ τῷ ὑμετέρῳ, ἀλλὰ δι' ὃν ὁ ὑμέτερος δῆμος γέγηθέ τε καὶ εὐθηνεῖται. εἰ δὲ οὔπω ὑμῖν δῆλον ὃ λέγω, φαῦλοι ἄρα ἐστὲ μάρτυρες τῶν χρεῶν καὶ οὐ μέμνησθε ὅτι πάλαι ἐπ' αὐτῷ τούτῳ τῷ ξυμβολαίῳ ξυνελέγητε εἰς τὸ βουλευτήριον μαρτυρήσοντες. ἐπετρόπευε δὲ τῷ δανείσματι ἀνὴρ γεννάδας καὶ ἔμπλεως παρρησίας, ὃς οὐκ ἐπιτρέψει οὐδὲ καταχαριεῖται ἐξαρνουμένῳ· οὕτω μοι τὸ χρέος περιβόητόν τέ ἐστι καὶ οὐδεμία μοι μηχανὴ ἀποστερεῖν ἐπιχειροῦντι καὶ καταπροίξεσθαι. [5]

25 b ἀλλὰ καὶ ὑμεῖς οἱ μάρτυρες εὖ οἶδ' ὅτι τέως μὲν ἡσυχάζετε, ἀναμένοντες ὡς οὔπω ὄντα παντάπασιν ὑπερήμερον, εἰ δὲ αἴσθοισθε παντελῶς ἀπορρᾳθυμοῦντα, εὐθὺς ἐπικείσεσθε καὶ ἐξελέγξετε καὶ παρέσεσθε εἰς τὸ δικαστήριον, καταβοησόμενοι ὅπη ἄν τίς με προκαλῆται. καὶ εἰ μὲν ἐπὶ χρυσίῳ ἢ ἐπ' ἀργυρίῳ τὸ ξυμβόλαιον ἦν, τάχα ἂν οὐ πάνυ τι ἐνεμεσᾶτε πρὸς τὴν ἔκτισιν ἀπορουμένῳ. [10]

25 c ἐπίστασθε γάρ, οἶμαι, εἰ μὴ ἀδικεῖτε, ὅτι χρήματα ἐγὼ οὔτε φυλάττειν πάνυ ἔμπειρος καὶ δαήμων οὔτε αὖ προϊέμενος ξυναγείρειν τε καὶ ἀνακτᾶσθαι ῥᾳδίως. ἡ γὰρ τέχνη περὶ ἣν λιπαρῶς ἔχω οὐκ ἐᾷ με ταύτην εἶναι σοφὸν τὴν σοφίαν. ἀλλ' οὐδὲν θαυμαστὸν οὐδὲ ἐμῆς μοχθηρίας σημεῖον, εἰ καὶ ὀφλήσας ποτὲ ἀνδρὶ πλουσίῳ ἀργύριον χαλεπῶς τὰ δίκαια ποιήσαιμι καὶ ὑπὲρ τὸν συγκείμενον χρόνον. [5]

25 d

ὅπερ οὖν εἶπον, εἰ μὲν τοιόνδε τι τὸ δάνεισμα, οὐ σφόδρα ἂν ὑπώπτευον ὑμῶν τὴν μαρτυρίαν, νῦν δὲ χρυσίον μέν, εἴπερ τι ἐγὼ ἐδεόμην, εὖ οἶδα ὅτι μᾶλλον ἄν με κατεφόρτισε βασιλεὺς ἢ πάλαι Κροῖσος Ἀλκμαίωνα τὸν Ἀθηναῖον, ἐκ τοῦ ψήγματος ἐπιτρέψας ὁπόσον ἐδύνατο τῷ σώματι ἀποφέρεσθαι. ἐπεὶ καὶ νῦν τό γε ἐπ’ αὐτῷ μέρος τρυφῆς τινας ὀχετοὺς καὶ εὐπαθείας λαθών με ἐπαφῆκεν εἰς τὸ δωμάτιον, οὓς ἐγὼ μόλις ἀπῳκοδόμησα καὶ ἀπέφραξα καὶ οὐκ εἴασα ἐπικλυσθῆναι τὴν οἰκίαν ὄλβῳ μείζονι τοῦ φιλοσοφίᾳ προσήκοντος, εἰδὼς ὅτι ὅπου ἂν λάθῃ τὸ ῥεῦμα τοῦτο αὐτομάτως τε καὶ ἄνευ πόνου ὑπορρυέν, ἐντεῦθεν ἀναγκαῖον ἐξοικίζεσθαι τὴν ἀρετήν.

26 a Ἀλλὰ φιλοσοφώτερος ἄρα, ὡς ἔοικεν, ὁ Κωνστάντιος ξυμβαλεῖν ἀνδρὶ φιλοσόφῳ ἢ Ἀλέξανδρος ὁ Φιλίππου. ὁ μὲν γὰρ ἐπειδὴ τοῖς πεντήκοντα ἅμα ταλάντοις οὐκ ἔτρωσεν οὐδὲ ἔκαμψε τὸν Καλχηδόνιον Ξενοκράτην, ἀλλ’ ἀπεκρούσατο γεννικῶς τὴν προσβολὴν τοῦ χρυσίου, ἀπείπατο αὐτίκα καὶ ἦρε τὼ χεῖρε καὶ οὐ προσήνεγκεν ἑτέραν πεῖραν ἰσχυροτέραν.

26 b βασιλεὺς δὲ ὁ μέγας ἐμηχανήσατο καὶ ἐξεῦρεν ὅτῳ ἂν μόνῳ ἐγὼ ὑπεικάθοιμι καὶ ὑπόσχοιμι οὐχὶ τὰς χεῖρας, ἀλλὰ τὴν ἀκοήν. ὁ γὰρ ἔπαινος ἡδὺ μέν που καὶ ἄλλως καὶ δύσμαχον δῶρον καὶ παρ’ ὁτουοῦν γινόμενος· καὶ αἵ γε Σειρῆνες ἐπὶ σκοπέλου ἐπαινοῦσαι καὶ ἐπ’ ὀλέθρῳ μικροῦ προσηγάγοντο καὶ ἐχειρώσαντο τὸν πολύμητιν Ὀδυσσέα· οὗ δὲ δὴ καὶ μόνον τὸ νεῦμα φερέγγυον πρὸς σωτηρίαν, μᾶλλον δὲ πρὸς ξύμπασαν εὐδαιμονίαν, οὗτος μακρὸν βιβλίον ξυγγράφων μεστὸν εὐφημίας τίνα οὐκ ἂν σιδηροῦν καὶ ἀδάμαντος στερεώτερον μαλάξειέ τε καὶ ὑποχείριον λάβοι; Ὅταν δὲ δὴ καὶ τὸ ἀκουστήριον ἐννοήσω, καὶ ὑμᾶς οἷς τὸν ἔπαινον ἐκοινοῦτο, καὶ τὸν προφήτην καὶ ἐξηγητὴν τοῦ ξυγγράμματος, ὅπως ὁ μὲν ἐν κόσμῳ εἱστήκει τρανότερον καὶ ἀριδηλότερον τὰ γράμματα ἐξηγούμενος Βάκιδός τε καὶ Ἀμφιλύτου, ὑμεῖς δὲ ὥσπερ ἐν ταῖς πανηγύρεσι μετημφιεσμένοι τὰς τηβέννους καὶ τὰ ὑποδήματα ἀλλαξάμενοι, συγκαθεζόμενοι ἐπὶ τῶν δίφρων, ἐξεβοᾶτε ἐπὶ τοῖς ῥήμασι θαμινά, ἐξαλλόμενοι καὶ μυρίας ἱέντες φωνάς, ζηλοῦντές με τοῦ ἐπαίνου, ταῦτα δὴ ἅπαντα ξυνιόντα ἆρα ἂν καρτερεῖν ἀνασχοίμην; Ἀλλὰ Ζήνων μὲν ὁ τῆς Στοᾶς ἀρχηγέτης, καίπερ τὰ ἄλλα σεμνὸς ὢν καὶ ὑψηλολόγος, ὅμως ἐγαννύσκετο καὶ ἐλαμπρύνετο, ἐπειδὴ αὐτὸν Ἀθηναῖοι ξένον τε ὄντα καὶ Φοίνικα ἐπὶ τοῖς λόγοις δημοποίητον ἐποιήσαντο, ἐγὼ δὲ οὕτως ἀγεννὴς καὶ ἀνήκοος Ἀριστοτέλους, ὃν προὐταξάμην τοῦ βίου τε καὶ τῆς σοφίας, ὥστε πᾶσαν οἴεσθαι τιμὴν καὶ παρ’ ὁτουοῦν καὶ ἐφ’ ὁτῳοῦν ἀχάριστον εἶναι ἀνδρὶ σπουδαίῳ καὶ ἐν Καρὸς μοίρᾳ; καὶ οὐ μέμνημαι ἄρα τῶν λόγων οἷς διορίζει χαυνότητα μεγαλοψυχίας; διορίζει δὲ ὧδε· φησί που καὶ περὶ τιμὰς τὰς μεγάλας, ὥσπερ καὶ περὶ τὰ ἄλλα τὰ λεγόμενα ἀγαθά, εἶναι μὲν ἄμετρον σπουδὴν τοῖς ἀνθρώποις, εἶναι δὲ ἔμμετρον καὶ ξὺν λόγῳ.

27 a τὸν μὲν δὴ ἐπὶ δήμου θορύβοις καὶ κρότοις ἐξογκούμενόν τε καὶ ἐγείροντα τὴν ὀφρῦν, ὅτι σφίσιν εἰς θέατρα ἢ ἱπποδρόμους πολλὰ χρήματα ἐξέχεε, χαῦνόν τε εἶναι καὶ ξυνέχεσθαι τῇ κακίᾳ, ᾗ τοὔνομα τοῦτο [τὴν χαυνότητα] ἐπιτίθησι· τὸν δὲ τούτων μὲν τῶν θορύβων καταφρονοῦντα καὶ σμικρὸν οἰόμενον διαφέρειν ῥοθίου κυμάτων αἰγιαλοῖς προσηχούντων, ψῆφον δὲ ἀνδρῶν ἀγαθῶν ἀκολάκευτον ἐπ’ ἀρετῇ περὶ πλείστου πάντων ποιούμενον, τοῦτον εἶναι τῷ ὄντι μεγαλόψυχόν τε καὶ μεγαλογνώμονα.

27 b ἐπεὶ καὶ Σωκράτης ὁ Σωφρονίσκου τοῦ μὲν δήμου τὰς ὀργὰς καὶ τοὺς ἐπαίνους ἐν λόγῳ οὐδέποτε ἐποιήσατο, ἐκυδροῦτο δὲ καὶ ἐπεποίθει τῇ τοῦ θεοῦ μαρτυρίᾳ, δι’ ἧς ἀνεῖπεν αὐτὸν σοφίᾳ νικᾶν τοὺς τότε ἀνθρώπους, καὶ ᾤετο δεῖν ἐκτιννύναι τὰ χαριστήρια τῷ Ἀπόλλωνι τῆς μαντείας καὶ Χαιρεφῶντι τῆς ἐρωτήσεως· καὶ ἔστι Σωκράτει προοίμιον πεποιημένον ἐν τόνῳ ἑξαμέτρῳ πρὸς τὸν θεόν.

27 c

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Εἰ δ’ αὖ φήσειέ τις κολακείαν εἶναι τῷ Πυθίῳ παραβάλλειν τὸν βασιλέα, Χρύσιππος μὲν ὑμῖν καὶ Κλεάνθης οὐ συγχωρήσει καὶ ὅλον ἔθνος φιλοσοφίας ἢ ὁ ἐκ τῆς ποικίλης χορός, οἱ φάσκοντες εἶναι τὴν αὐτὴν ἀρετὴν καὶ ἀλήθειαν ἀνδρὸς καὶ θεοῦ. ἐμοὶ δὲ περὶ μὲν θεῶν εὔστομα κείσθω, κατὰ τὸν Λύζου.

27 d Ἀγησίλαον δὲ οἶδα τὸν βασιλέα τῆς Σπάρτης ὅτι Ξενοφῶν ὁ Σωκράτους ὁμιλητὴς οὐκ ὤκνει ἐπαινεῖν καὶ ἀμείβεσθαι μακρῷ βιβλίῳ, ἐπειδὴ αὐτῷ νέμεσθαι διεπράξατο χωρίον τι μεταξὺ Ἤλιδος καὶ Ἀρκαδίας, οὐ πόρρω Σκιλλοῦντος, ἐν τῇ φυγῇ. καὶ πρὸς ἐκείνῳ τόδε εὖ οἶδα, ὅτι οὗτος ὁ Σπαρτιάτης τὰ μὲν ἄλλα φιλότιμός τε ἦν καὶ ὑψηλόφρων, φιλανθρωπίᾳ δὲ καὶ πρᾳότητι τοσόνδε ἐλείπετο τοῦ ἀληθινοῦ βασιλέως ὁπόσον καὶ τῇ βασιλείᾳ, εἴπερ τι μέμνησθε τῆς Λυσάνδρου κρεοδαισίας.

28 a οὐ μὴν οὐδὲ ἡ χάρις ὁμοία ἀγρὸν ἐργάζεσθαι προῖκα Ἀρκαδικὸν ἢ ἐπαίνου τυχεῖν ἀγήρω τε καὶ ἀθανάτου. τάχα δ’ ἂν καὶ αὐτὸς ὁ Ἀρχιδάμου τιμιώτερον ξυνέφη εἶναι τῆς αὐτοῦ δωρεᾶς τὸ χαριστήριον τοῦ Ξενοφῶντος. τὸ μὲν γὰρ λόγος ἦν ὑπὸ φιλοσόφου γεγραμμένος, ἡ δέ, εἴ τι δεῖ προσέχειν τῷ εἰληφότι, πυροὶ καὶ κριθαὶ καὶ τρωκτὰ ὡραῖα καὶ δορκάδας καὶ σῦς διώκειν τε καὶ ἀκοντίζειν.

28 b Ὅθεν μοι καὶ ἄπορος καὶ ἀμήχανος ἡ ἔκτισις γίνεται μᾶλλον ἢ Ξενοφῶντι. πρὶν μὲν γὰρ ἐνομίζετο ἐν ἀνθρώποις πλοῦτοι μὲν καὶ ἀρχαὶ καὶ σατραπεῖαι δῶρα ἀγαθῶν βασιλέων, βιβλία δὲ καὶ γράμματα καὶ συγγράμματα φιλοσοφίας ἔργα καὶ ἀναθήματα· νῦν δὲ ὃ μόνον εἶχον οἱ λόγοι χαριστήριον ἐν δυνάμει, τοῦτο αὐτὸς προλαβὼν ἐδωρήσατο βασιλεύς. οὔκουν ἔστι μοι θρύπτεσθαι καὶ ἀκκίζεσθαι, καθάπερ Ἰσοκράτης ὁ Θεοδώρου, ὅτι σεμνότερα καὶ ἰσχυρότερα τὰ ἐμὰ δωρήματα καὶ οὔτε ἐν χρόνῳ γηράσκει οὔτε ἐν τόπῳ κατείργεται.

28 c ὃ γὰρ ἂν μέγα καὶ πάμμεγα εἴπω ὑπὲρ τῶν λόγων, μετὰ τῆς βασιλέως γίγνεται δωρεᾶς. Λείπεται οὖν μοι, ὡς ἔοικε, συμπορίζεσθαι ἵππους καὶ ἱμάτια καὶ οἰνοχόους καὶ πλέθρα γῆς ψιλῆς καὶ πεφυτευμένης καὶ ταῦτα ἀντεισφέρειν τῷ βασιλεῖ ἐπὶ τῷ λόγῳ, εἴπερ γε δεῖ ἀμφοτέρους τὰ ἔργα ἀνταλλάξασθαι. ἀλλ’ οὐ γὰρ ἀλλὰ τολμητέον δὴ κατὰ δύναμιν· ὡς τὰ μὲν χρήματα τὰ ἐμὰ καταγέλαστα καὶ πενία πολλὴ καὶ ἐλάττω ἢ ψεκὰς πρὸς τὸν ὠκεανόν, οὐ μόνον ὅσα ἐγὼ κέκτημαι νῦν, ἀλλὰ καὶ ὅσα ὁ πατήρ ποτε καὶ ὅσα ἡ μήτηρ καὶ ὅσα ξύμπαντες Παφλαγόνες.

28 d λόγῳ δὲ παραβαλλόμενος πρὸς τὸν λόγον, ἔχω τινά, εἰ μὴ μέγα εἰπεῖν, ἐλπίδα οὐ πολλῷ ὀπίσω ἀπολείψεσθαι, οὔτι λέγω τῷ κάλλει τῶν ἐνθυμημάτων καὶ ὀνομάτων· μᾶλλον γὰρ τούτοις ἀστράπτει βασιλεὺς ἢ τῷ στεφάνῳ καὶ τῇ ἁλουργίδι· ἀλλ’ εἴπω ὑμῖν ᾧ δοκῶ περιέσεσθαι ἐκ τῆς ἁμίλλης; οἶμαι ἀληθινώτερον φανεῖσθαι τὸν ἐμὸν λόγον ἢ τὸν βασιλέως.

29 a τῷ μὲν γὰρ ἀνάγκη ἐστὶ τὸν ἐπαινούμενον παραδραμεῖν καὶ ὑπερβῆναι διὰ τὴν φαυλότητα καὶ οὐδένειαν, ἐμοὶ δὲ ἀποχρῶν ἀγώνισμα ἡ ἀλήθεια. Καίτοι μέλλων γε ἅπτεσθαι καὶ θιγγάνειν τῶν ἀνακτόρων ξένον τι ἀτεχνῶς ὑπομένω καὶ ἄπιστον πάθος. διανοίγεται γάρ μου τὸ στῆθος καὶ ἡ καρδία καὶ διαυγεστέρα γίνεται ἡ ψυχὴ καὶ τὰ ὄμματα ὀξύτερα τῆς διανοίας.

29 b ὁρῶ γοῦν, ὦ μακάριοι, ἃ πρότερον οὐχ οἷός τε ἦν· ἃ δὲ ὁρῶ, δέος ἔχει με ἐξειπεῖν καὶ ἐκλαλῆσαι μὴ ὥσπερ οἱ νυμφόληπτοι ἐξαπατῶμαι. ὅμως δέ, οὐδὲ γὰρ ἀϊστοῦται τὸ φάντασμα, ἀλλ’ ἐπιμένει, καὶ ὅσῳ ἂν μᾶλλον ἐγκύπτων ἀτενίζω τοῖν ὀφθαλμοῖν, τοσῷδε ἐναργέστερον ἀναφαίνεται καὶ ἐκλάμπει. ἐθέλω οὖν καὶ πρὸς ὑμᾶς τὸ πάθος ἀνακοινώσασθαι καὶ ἐνδείξασθαι, ἢν δύνωμαι· ἀλλ’ ἕπεσθε.

29 c φαίνεταί μοι τῷ λόγῳ τῷ βασιλέως, ὃν ἐπὶ τῷμῷ ὀνόματι πρώην ἔπεμψεν εἰς τὴν βασιλίδα βουλήν, τοὔνομα μὲν ἄλλως τοὐμὸν ἐπικεῖσθαι, τῷ ὕμνῳ δὲ αὐτὸς ὑποδεδυκέναι ὁ ξυγγραφεύς, ὥσπερ, οἶμαι, φασὶ τὸν Παρράσιον, ὅτι γράφειν τὸν Ἑρμῆν ἐγχειρήσας τὴν ἑαυτοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μορφὴν τῷ πίνακι ἐγκατέθετο καὶ ἐξαπατᾷ τοὺς ἀνθρώπους τὸ ἐπίγραμμα τῆς εἰκόνος. οἴονται γὰρ ὅτι Παρράσιος ἑαυτὸν ἐτίμησέ τε καὶ ἐκύδηνε τῷ ἀναθήματι, πόρρω ὄντες τῆς τοῦ ζωγράφου σοφίας, ὃς ἵνα φύγῃ ἀπειροκαλίαν τε καὶ φιλαυτίαν, ἀλλοτρίῳ ὀνόματι εἰς τὴν γραφὴν κατεχρήσατο.

29 d Μὴ οὖν ὑμεῖς ἐξαπατᾶσθε μηδὲ ὁρῶντες πόρρωθεν καὶ ἀκούοντες ἔπαινον φιλοσόφου καὶ βασιλέως, ἄλλον τινὰ οἴεσθε τὸν φιλόσοφον ἢ τὸν βασιλέα. ἀλλ’ ὥσπερ εἴ τις ὀξύτατα αὐτὸς θέων καὶ ὑπὲρ τοὺς ἄλλους ἀνθρώπους μακρὸν ἐποιεῖτο τάχους ἐγκώμιον, ἐπιδεικνύς τε καὶ ἐξηγούμενος ὁπόσα παρέχεται ὠκύτης ποδῶν ἀγαθὰ τῷ βίῳ τῷ ἀνθρωπίνῳ, φυγεῖν τε ὃ ἄν τις ἐκκλίνῃ, ἑλεῖν τε οὗ ἄν τις ἐφίοιτο, καὶ ὁδὸν ὡς ῥᾷστα ἀνύειν, καὶ θηρεύειν ἵππων μὴ προσδεόμενον, καὶ ταῦτα ἔλεγεν ἀποβλέπων εἴς τινα ἄλλον ἄνθρωπον δῆθεν μόλις βαδίζοντα σὺν βακτηρίᾳ, δῆλος, οἶμαι, οὗτος ἦν ὁ ἀνὴρ τὴν ἑαυτοῦ ἐξυμνῶν ποδώκειαν δι’ ἀλλοτρίου παραπετάσματος.

30 a οὕτω δὴ βασιλεὺς ὁ τῷ ὄντι καὶ οὐ ψευδώνυμος αὐτὸς τὴν ἑαυτοῦ ψυχὴν ἐνδείκνυσθαι ἐπιθυμήσας φιλοσοφίαν τῷ λόγῳ ἐτυπώσατο. Ὑμεῖς δὲ ἴσως ὑπολαμβάνετε, ἐὰν μέν τις ἄνω καὶ κάτω περὶ συλλογισμῶν διαλέγηται, καὶ οὔτιδας λόγους ἐξετάζειν οἷός τε ᾖ, καὶ τοὺς ἐγκεκαλυμμένους ἀποκαλύπτειν καὶ τινάς τε αὖ καταφάσκοντας καὶ ἀποφάσκοντας, ὥσπερ Φίλων ἢ Διόδωρος, ὧν τὰ λαμπρὰ ἀναθήματα, ὁ κυριεύων καὶ ὁ κερατίνης, σοφίσματα δυσμήχανα καὶ κακοῦργα καὶ ὧν χαλεπὴ μὲν ἡ ξύνεσις, ἀχρεῖος δὲ ἡ ἐπιστήμη, ὥσπερ ὁ ζυγόδεσμος τῆς Μίδου ἁμάξης, τοῦτον μὲν καὶ τὸν τοιοῦτον φιλοσοφεῖν, ἢ μᾶλλόν γε ὅστις ὑπὲρ ἀρετῆς θαμὰ διεξίοι καὶ θαρραλεότητος καὶ ἀνδρείας ἐπὶ σκιμποδίου καθήμενος καὶ πρὸς μειράκια τρία ἢ τέτταρα, οὐχ οἷός τε ὢν τοῦ δωματίου παρακῦψαι ὑπὸ ἀσθενείας; ἢ αὖ περὶ πολιτείας τε καὶ νόμων, οὗ μηδὲ ὁ ἀγρὸς εὖ οἰκεῖται; καὶ περὶ μεγαλοπρεπείας καὶ τῶν μεγάλων δαπανημάτων ὁ μηδὲ ἁψάμενός ποτε χρυσοῦ καὶ στατῆρος; καὶ ὅπως δὴ κατέχειν τὴν ὀργήν, ὃν καὶ ἀγανακτοῦντα οὐδεὶς εὐλαβεῖται; καὶ ὅπως κρείττων εἶναι ἐπιθυμίας, ᾧ μηδὲν πλέον καὶ ἡττημένῳ; ὅστις δὲ ἐν ἐξουσίᾳ μὲν ἀδικίας δικαιότερος Ἀναξαγόρου, ἐν ἀδείᾳ δὲ ἀκολασίας σωφρονέστερος Ξενοκράτους, τρυφᾶν δὲ ὑπὲρ ἐκεῖνον τὸν Σαρδανάπαλλον ἔχων ῥᾷον ἀνέχεται λιμοῦ καὶ δίψης ἢ Διογένης ὁ Σινωπεύς, ἐξὸν δὲ αὐτῷ ἅπαντα ποιεῖν ὀργισθέντι πρᾳότητι νικᾷ τὸν Ἀρίστωνος, ἀνδρείαν δὲ οὐκ ἐπιτάττει, ἀλλὰ καὶ ἐργάζεται, καρτερίαν δὲ οὐ διδάσκει, ἀλλὰ καὶ ἐκπονεῖ, φιλανθρωπίαν δὲ οὐχ ὅ τι ποτέ ἐστι λέγει, ἀλλὰ καὶ ἀπολαύειν παρέχεται, τοῦτον εἰ φαίημεν εἶναι τὸν ἀληθινὸν φιλόσοφον, ψευδεῖ ἄρα καὶ οὐ προσήκοντι ὀνόματι τὸν ἄνδρα θεραπεύσομεν; καίτοι οὐχ οὕτως ἔχομεν ὑπὲρ τῶν ἄλλων, ἀλλὰ καὶ τέκτονα ὀνομάζομεν ἐν τοῦ ἔργου καὶ σκυτοτόμον ἐπὶ τοῖς ὑποδήμασι καὶ ἰατρόν, εἰ ἀκοῖτο τὰ νοσήματα.

31 a Καὶ τί ἐγὼ παραδείγματα ἀπομηκύνω καὶ οὐκ ἐρῶ τὴν μηχανήν, μᾶλλον δὲ οὐ ζηλῶ τοὺς ἐπὶ τοῦ βήματος ῥήτορας; ἴστε γάρ που ὅτι οἱ ῥήτορες, ἕως μὲν ἂν σημεῖά τε καὶ εἰκότα παρέχωνται καὶ ἐγχειρῶσι, πολλάκις ἀπιστοῦνται ὑπὸ τῶν δικαστῶν καὶ δοκοῦσι τὴν τέχνην μὲν ἐπιδείκνυσθαι, τὸ δὲ ἀληθὲς μήπω ἐλέγχειν, ὁπόταν δὲ νόμον ὑπαναγνῶσι Δράκοντος ἢ Σόλωνος ἢ Κλεισθένους, τὴν ψῆφον ἤδη ὁ καθήμενος εὐτρεπίζεται.

31 b ἔχω οὖν καὶ ἐγὼ ἐφ’ οἷς λέγω πάνυ πολλοὺς νόμους, οὓς συνεγράψαντο οἱ σεμνοὶ νομοθέται φιλοσοφίας καὶ ἀμείνους πολλῷ Ζαλεύκου τοῦ Λοκροῦ καὶ τοῦ Θουρίου Χαρώνδα, ὁ μέγας Πλάτων καὶ Ἀριστοτέλης ὁ Νικομάχου. καὶ αὐτὰ ὑμῖν τῶν ἀνδρῶν τὰ γράμματα ἀναγνώσομαι, λαβὼν ἀπὸ τῶν κύρβεων καὶ ἀπολέξας. Λέγει τοίνυν ὁ μὲν ἕτερος νομοθέτης, ἐν οἷς λέγει ὑπὲρ τῆς ἠθικῆς ἀρετῆς, αὐτοῖς τουτοισὶ τοῖς ῥήμασιν, ὅτι τέλος αὐτῆς οὐ γνῶσις, ἀλλὰ πρᾶξίς ἐστι.

31 c

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ αὖθις· οὐ γὰρ ἵνα εἰδῶμεν τί ἐστιν ἀρετή, σκοπούμεθα, ἀλλ’ ἵνα ἀγαθοὶ γενώμεθα διὰ τῶν ἔργων. καὶ ἑτέρωθι· πρὸς μὲν γὰρ τὰς ἄλλας τέχνας τὸ εἰδέναι πάμμεγα δύναται, πρὸς δὲ τὰς ἀρετὰς τὸ μὲν εἰδέναι ἢ οὐδὲν ἢ μικρὸν ἰσχύει, τὰ δὲ ἔργα οὐ μικρόν, ἀλλὰ τὸ πᾶν. εἰ μὲν οὖν ἤδη τις ἐπιδεῖξαι δυνήσεται τῆς βασιλέως ἀρετῆς ἐνεργεστέραν τὴν Χρυσίππου ἢ τὴν Ἀντιπάτρου, οἳ δὴ ἐν καλάμῳ καὶ μέλανι τὸν ἅπαντα χρόνον τὴν ἀνδρείαν ἐπεδείξαντο καὶ τὴν δικαιοσύνην καὶ τὴν καρτερίαν, τάχα ἂν ἐγὼ θωπεύοιμι καὶ ὑπερχοίμην· εἰ δὲ τῶν μὲν ἄχρι τοῦ διδασκαλείου ἡ γενναιότης, βασιλέως δὲ ὕπαιθρα τὰ ἀγωνίσματα, τοῦ δὴ χάριν πρὸς τοῦ Διὸς τοὺς μὲν φιλοσόφους καλεῖν οὐκ ὀκνοῦμεν, βασιλέα δὲ αἰσχυνόμεθα; Ὅτι γὰρ μὴ ἄλλο τι τὸ φιλοσοφεῖν ἐστιν ἢ τὸ ἐργάζεσθαι ἀρετήν, ἀκούετε αὖ πάλιν ῥῆσιν ἑτέραν, οὐ τοῦ ἀπὸ Σκυθῶν, ἀλλὰ τοῦ ἀπὸ Σταγείρων, καὶ εἰ μακροτέρα ἐστίν, ἀλλὰ ἀκούετε.

32 a εἰ οὖν λέγεται ὅτι ἐκ τοῦ τὰ δίκαια πράττειν ὁ δίκαιος γίνεται καὶ ἐκ τοῦ τὰ σώφρονα ὁ σώφρων, ἐκ δὲ τοῦ μὴ πράττειν ταῦτα οὐδεὶς ἂν οὐδὲ μελλήσειεν ἀγαθὸς γενέσθαι, ἀλλ’ οἱ πολλοὶ ταῦτα μὲν οὐ πράττουσιν, ἐπὶ δὲ τὸν λόγον καταφεύγοντος οἴονται φιλοσοφεῖν, ὅμοιόν τι ποιοῦντες τοῖς κάμνουσιν, οἳ τῶν ἰατρῶν ἀκούουσι μὲν ἐπιμελῶς, ποιοῦσι δὲ οὐδὲν τῶν προσταττομένων, ὥσπερ οὖν οὐδὲ ἐκεῖνοι εὖ ἕξουσι τὸ σῶμα οὕτω θεραπευόμενοι οὐδὲ οὗτοι τὴν ψυχὴν οὕτω φιλοσοφοῦντες, εἰ οὖν οὐ φιλόσοφοι, ἀλλὰ ψευδώνυμοι οἱ καταφεύγοντες ἐπὶ τὸν λόγον, δῆλόν που ὡς οἱ τὰ ἔργα ἐπιδεικνύμενοι ἀντὶ τῶν λόγων ἀληθινῶς ἂν καὶ ἐνδίκως ἀξιοῖντο τοῦ προσρήματος.

32 b Ἀλλὰ δὴ καὶ τῶν Ἀττικῶν ἀκούσατε νόμων, οὐ τῶν Σόλωνος, ἀλλὰ τῶν τοῦ Σόλωνος ἀπογόνων. καίτοι σχεδόν τι ἅπασα καταπέπλησται ἡ τοῦ θείου Πλάτωνος ξυγγραφὴ καὶ οὐκ ἔστιν ὀλίγα ῥήματα ἐξελόμενον ἐπιλέγεσθαι ὑμῖν ὥσπερ γραμματέα, ἀλλὰ βιβλίων ὅμαδος ὅλος ἐπ’ ἀλλήλοις συντεταγμένων ἐπισχυρίζεται μάλιστα εἶναι φιλόσοφον τὸν βασιλέα, Πολιτεῖαί τε αἱ κλειναὶ καὶ οἱ θεσπέσιοι Νόμοι καὶ πᾶσα ἡ περὶ τὴν πλάτανον διατριβὴ τὴν ἀμφιλαφῆ τε καὶ ὑψηλήν.

32 c ἡ γὰρ εὐδαίμων ἐκείνη καὶ μακαρία χορεία, ἣν αὐτὸν μέν φησι μετὰ τοῦ Διὸς χορεύειν, ἄλλους δὲ μετ’ ἄλλων θεῶν, καὶ οἱ τὸν ὁρώμενον γνωματεύοντες εἰ φιλόσοφός τε καὶ ἡγεμονικὸς τὴν φύσιν ἐστί, καὶ ἄλλα δὴ ὅσα μυρία οὐκ ἀμυδρῶς ἐστι λέγοντος ὃ λέγω, οὐδὲ πρὸς μόνους τοὺς ὀξύτερον ἀκούοντας. Ἀλλ’ ἐμοὶ ἀπόχρη τὸν κολοφῶνα ἐπιμαρτύρασθαι καὶ εἰς ὃν ξυνδεῖ καὶ ἀνάπτει πάντα τὰ ἅμματα τῆς χρυσῆς καὶ ἀρρήκτου σειρᾶς, διατείνων καὶ ἕλκων ἐκ γῆς εἰς τὸ ἄκρον τοῦ οὐρανοῦ.

32 d τὸ γὰρ δὴ κεφάλαιον αὐτῷ καὶ τὸ πέρας καὶ ἡ κορυφὴ ξυμπάντων τῶν λόγων τοῦτό ἐστιν, ὅτι μηδὲν ἄλλο ἐστὶ φιλοσοφία ἢ ὁμοίωσις θεοῦ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ. Τοὐντεῦθεν ἔποιτ’ ἂν ἡμῖν ἐπισκοπεῖσθαί τε καὶ ἐξετάζειν τί πράττων ὁ θεὸς θεός ἐστι· πότερον ὑπὲρ προτάσεων ἐξηγούμενος καὶ τρόπων περαντικῶν τε καὶ ἀπεράντων, ἢ ἄλλου του χρὴ ἐποριγνᾶσθαι τὸν μέλλοντα αὐτῷ κατὰ σμικρόν τι ἀπεικασθήσεσθαι.

33 a οὐδὲν δὲ ἴσως ἡμᾶς ἂν δέοι πράγματα ἔχειν ζητοῦντας καὶ ἐρευνῶντας, ἀλλ’ αὐτὸς ὁ Πλάτων ἐρεῖ τὸ ἔργον τοῦ θεοῦ τῇ λαμπρᾷ καὶ μεγάλῃ φωνῇ. βουληθεὶς γάρ, φησίν, ὁ θεὸς ἀγαθὰ μὲν πάντα, φλαῦρον δὲ μηδὲν εἶναι κατὰ δύναμιν, οὕτω δὴ καὶ πᾶν ὅσον ἡμῖν ὁρατὸν παραλαβών, οὐχ ἡσυχίαν ἄγον, ἀλλὰ κινούμενον πλημμελῶς καὶ ἀτάκτως, εἰς τάξιν αὐτὸ ἤγαγεν ἐκ τῆς ἀταξίας, ἡγησάμενος ἐκείνου τοῦτο πάντως ἄμεινον εἶναι.

33 b Πρὸς Διός, οὐ γὰρ οἷός τέ εἰμι καρτερεῖν καὶ τοῦ λόγου τὸ ἐφεξῆς ἀναμένειν, ἀλλά με ἀποστοματίζοντα τὴν Πλάτωνος ῥῆσιν ἔθραξέ τι καὶ ἔνυξε τὴν διάνοιαν, καὶ οὐκ ἀνέχεται ἠρεμεῖν, ἀλλὰ οἷόν τέ ἐστι προπηδᾶν τε καὶ προεξάλλεσθαι τοῦ ἐν τάξει ἀκολουθοῦντος. ἐάσατε οὖν με καὶ ἐπιτρέψατε ἐξενεγκεῖν αὐτὸ εἰς φῶς παρὰ τὸν καιρὸν μᾶλλον ἢ ἐξαμβλῶναι,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ ὑμῖν οὐκ εἰς μακρὰν ἐπανήξω εἰς τὸ συνεχὲς καὶ ἑπόμενον τοῦ λόγου. εἰ γὰρ ἐγὼ δύο ὀνόματα μόνα τῶν ὑπὸ Πλάτωνος γεγραμμένων μεταβαλών τε καὶ μεθαρμόσας ἐρεσχελοίην πρὸς ὑμᾶς καὶ ἀγροικιζοίμην, οἷα πολλὰ εἰώθασιν οἱ νέοι Πλάτωνος θιασῶται, ὅτι ταῦτα πάντα συγγέγραπται τῷ φιλοσόφῳ οὐδέν τι μεῖον προμαντευομένῳ καὶ προφητεύοντι περὶ τοῦδε τοῦ βασιλέως, εὖ οἶδ' ὅτι χαλεπῶς ἄν με ἐξερεῖτε, εἰ τεχνάζω καὶ σκευωροῦμαι περὶ τὴν λέξιν.

33 c ἀθρεῖτε οὖν καὶ ἐπιφυλάττετε. ἰδοῦ γὰρ λέγω ὅτι βουληθεὶς ὁ τῆς γῆς βασιλεὺς ἀγαθὰ μὲν πάντα, φλαῦρον δὲ μηδὲν εἶναι κατὰ δύναμιν, οὕτω δὴ παραλαβὼν τὴν βασιλείαν οὐχ ἡσυχίαν ἄγουσαν, ἀλλὰ κινουμένην πλημμελῶς καὶ ἀτάκτως εἰς τάξιν ἤγαγεν ἐκ τῆς ἀταξίας, μῶν καὶ ἔχοιτε ἂν εἰπεῖν οὕτως ῥᾳδίως ᾗ παραλλάττει τὰ ῥήματα; Οὐκοῦν καὶ τόδε ἔτι προσθῶμεν, οὐδὲν γὰρ ἧττόν ἐστι προσφυές, ὅτι ψυχὴ κακεργάτις τε καὶ ἔμπληκτος ταύτης ἦν αἰτία τῆς ἀταξίας, ἐπιθεμένη ἄρχειν ὧν οὐ προσῆκεν αὐτῇ γένει, καὶ παρωσαμένη τὴν ἔμφρονα μοῖραν καὶ τοῦ σπέρματος τοῦ ἀρχικοῦ πάντα χρήματα ἐτάραξε Τυφῶνος δίκην, ὃν οἱ λόγοι φασὶν Αἰγυπτίων ὅτι τὸν Ὄσιριν κατακόψας μετεποιεῖτο ἀρχῆς οὐδὲν προσηκούσης, καὶ αὐτὸν διὰ τοῦτο ὁ Ζεὺς κεραυνῷ ἐξαναλίσκει καὶ πυρὶ καὶ ῥύεται τοὺς Αἰγυπτίους τῆς ἀλλοκότου καὶ βαρβαρικῆς βασιλείας.

34 a ταῦτα γὰρ ἄντικρυς, οἶμαι, καὶ ἄνευ τῆς ἀγροίκου σοφίας μεταφέρων τις καὶ ἐφαρμόττων τῷ βασιλεῖ οὐκ ἂν ἁμαρτάνοι εἰκόνος ἀληθινῆς τε καὶ ἐναργοῦς, πλὴν ὅσον γε οὐ πρὸς ἕνα μόνον Τυφῶνα, ἀλλὰ πολλοὺς καὶ πανταχόθεν ἀναφυέντας, τοὺς μὲν μείζους, τοὺς δὲ ἐλάττους, καὶ τοὺς μὲν πρεσβυτέρους, τοὺς δὲ ἀκμάζοντας, τοὺς δὲ νέους, τὸν μὲν λόγῳ, τὸν δὲ σιδήρῳ, τὸν δὲ μηδ' αἰσθανόμενον ἐχειρώσατο.

34 b Ἀλλ' ὁπόθεν δεῦρο ἐξετραπόμεθα, δεῖ γάρ, ὡς ἔοικε, τὴν αὐτὴν ἐπανιέναι, ἐδείκνυμέν που, εἴ τι μεμνήμεθα, ὡς σχεδόν τι ἁπανταχοῦ ὁ πάνσοφος Πλάτων ξύνδρομα πορεύεσθαι ὑπολαμβάνει τὸν ἀληθινὸν βασιλέα καὶ τὸν φιλόσοφον. πρὸς γὰρ τὸ αὐτὸ παράδειγμα ἀμφοτέροις ἥ τε ἅμιλλα καὶ ἡ σπουδή, ἀλλὰ τῷ μὲν ἄχρι λόγου καὶ ἐπιστήμης, τῷ δὲ ἄχρι τοῦ πράγματος καὶ τοῦ ἔργου.

34 c τὸν μὲν γὰρ τοῦδε τοῦ ξύμπαντος βασιλέα ὁ μὲν ἐπίσταται μόνον, ὁ δὲ καὶ μιμεῖται· ὁμοιότερον δὲ ἀεὶ τοῦ γιγνώσκοντος τὸ ἐργαζόμενον· καὶ τὸν μέγαν ἡγεμόνα ἐκεῖνον τὸν ἐν οὐρανῷ τὸ πτηνὸν ἅρμα ἐλαύνοντα καὶ πάντων ἐπιμελούμενον καὶ διακοσμοῦντα, ᾧ ἕπεται πρώτῳ πορευομένῳ στρατιὰ θεῶν καὶ δαιμόνων, ὁ μὲν ὑμνεῖ παρὰ τὸν Ἰλισσὸν κατακεκλιμένος, μειρακίου Ἀττικοῦ ἀκροώμενος, ὁ δὲ καὶ ἔργῳ ζηλοῦν οἷός τέ ἐστιν, Ὧι λαοί τ' ἐπιτετράφαται καὶ τόσσα μέμηλεν· ᾧ ἀντὶ τῆς θείας ἡ ἀνθρωπίνη ἕπεται στρατιὰ κατὰ μοῖραν κεκοσμημένη, οὗ τῷ νεύματι ἔνεστιν ὥσπερ τοῦ Διὸς κυβερνᾶσθαι καὶ ἄγεσθαι τὰ ἀνθρώπινα.

34 d οὐκ ἐτὸς ἄρα καὶ ὁ τῆς Καλλιόπης χορὸς ὃς οὐ παύεται ἀνακαλῶν τοὺς βασιλέας διοτρεφεῖς τε καὶ διογενεῖς καὶ Διὶ μῆτιν ἀταλάντους. Καὶ οὖν ἐπειδὴ τοὺς νόμους παρέσχημαι τῷ δικαστηρίῳ, καὶ τὰ ἐφεξῆς μιμητέον μοι τοὺς ῥήτορας, καὶ διδακτέον ὡς καλοὶ οἱ νόμοι καὶ ἀληθινοὶ καὶ ξυμφέροντες.

35 a τῷ γὰρ ὄντι κινδυνεύει τοσαῦτα εἶναι εἴδη πολιτειῶν ὅσαπερ καὶ ἀνθρώπου ψυχῆς. οὐ γάρ που ἐκ δρυὸς οὐδ' ἐκ πέτρας συνίστανται αἱ πολιτεῖαι, ἀλλ' ὅτι ἁπασῶν ἴχνη καὶ σπέρματα τῇ ψυχῇ ἐμπέφυκε τῇ ἀνθρωπίνῃ. ποικίλον γάρ που καὶ πολύχουν χρῆμα ἡ ψυχή, ὥσπερ ἡ πόλις, καὶ ἔνι μέν τι βασιλικὸν ἐν αὐτῇ, ἔνι δ' αὖ θυμοειδὲς καὶ μαχητικόν, ἔνι δὲ καὶ δῆμος πολύς, ὁ μὲν χρηματιστής, ὁ δὲ ἀργὸς καὶ φιλήδονος.

35 b τῶν μὲν δὴ ἄλλων ἀνθρώπων ἢ δημοκρατεῖται ἡ ψυχὴ ἢ ὀλιγαρχεῖται ἢ τυραννεύεται. ἢ γὰρ ἡδονὴ παραλαβοῦσα τὰ σκῆπτρα ἀφαιρεῖται τὰ ἄλλα γένη τῆς ἐλευθερίας, ἢ τὸ φιλοκερδές τε καὶ φιλοχρημάτιστον, ὥσπερ ἐν ταῖς ἀπὸ τῶν τιμημάτων ὀλιγαρχίαις, ἢ τὸ μαχητικόν τε καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

θυμοειδές, ὥσπερ ἐν Κρήτῃ ποτὲ καὶ Λακεδαίμονι, ἢ ἀναμὶξ τὰ φῦλα πάντα σὺν πολλῷ θορύβῳ διακληροῦται καὶ διαλαγχάνει τὴν ἀρχήν, μόνου δὲ τοῦ φιλοσόφου βασιλεύεται ἡ ψυχή, καὶ ἄρχει μὲν ὁ νοῦς τὸν ἅπαντα χρόνον, τὰ δὲ ὅπλα φέρει ὁ θυμὸς ᾗ ἂν ἐκεῖνος ἡγῆται, ὁ δὲ ἄλλος ὄχλος κάθηται ἐπὶ τοῖς ἔργοις τοῖς ἑαυτοῦ καὶ οὐκ ἀμφισβητεῖ τῆς ἀρχῆς.

35 c Καὶ ἐντεῦθεν μάλιστα, ὦ μακάριοι, τὰ δύο ταῦτα ὀνόματα ὁ βασιλεὺς καὶ ὁ τύραννος πάνυ ἀλλήλοιν πολεμεῖ καὶ ἀνθέστηκε, καὶ δὴ οὐκ ἀνέχεται ξυμβῆναί ποτε οὐδὲ ξυνδραμεῖν, ὥσπερ οὐδ’ ἂν νοῦς οὐδὲ ἡδονὴ ξυνέλθοι τὰ ἀλλοδαπά· ἂν γὰρ τὸ ἕτερον εὐθαλῇ, καταφθίνει τὸ ἕτερον καὶ μαραίνεται.

35 d πῇ οὖν ἐναντιοῦσθον καὶ διαφέρεσθον; ἀρχαὶ μὲν γὰρ ἄμφω ἀνθρώπων καὶ οὐχὶ τὸ μὲν ἵππων, τὸ δὲ ἀνθρώπων, ἀλλὰ τὸ μὲν ξὺν ἀρετῇ καὶ ἐπ’ ἀγαθῷ τῶν ἀρχομένων, τὸ δὲ ξὺν κακίᾳ καὶ ἐπὶ μόνῃ τῇ ἑαυτοῦ ἀπολαύσει, καὶ διὰ τοῦτο οἱ ἄνθρωποι τὸ μὲν θεοειδὲς νομίζουσι καὶ μακάριον, τὸ δὲ πεφρίκασι καὶ ἐπαρῶνται. Πάλιν τοίνυν ὥσπερ παλαιστὴς ὁ λόγος πολλὰ ἐξελιχθεὶς τὴν αὐτὴν παρέχει λαβὴν καὶ δείκνυσι μάλιστα φιλόσοφον τὸν βασιλέα, ὅτι μάλιστα ἐπιτρέπει τὰ αὑτοῦ πράγματα τῇ τοῦ λόγου ἡγεμονίᾳ, ὃν οὐ δεδίασιν, ἀλλ’ ὑπὲρ οὗ δεδοίκασιν οἱ ἀρχόμενοι.

36 a τοῦτον οὐχ αἱροῦνται ἐν συμποσίῳ ἄνθρωποι ἐκ μέθης καὶ πλησμονῆς, ἀτεχνῶς ἐπίδειπνόν τινα βασιλέα, οὐκ εἰς μακρὰν οἰμωξόμενον μετὰ τὴν κραιπάλην, ὥσπερ ἐν Κρονίοις. φύεται δὲ αὐτόματος καὶ ἐκτρέφεται ὥσπερ ἐν σμήνει αὐτοφυὴς ἐκ γενετῆς καὶ αὐτοδίδακτος βασιλεύς, ᾧ περιβομβεῖ καὶ συμπέταται ἑκούσιον τὸ σμῆνος καὶ ξὺν χαρμονῇ, οὐκ ἐπειδὴ τῷ σώματι ὑπερφέρει καὶ μείζων ἐστὶ τῆς φύσεως, ἐννεόργυός τις καὶ ἐννεάπηχυς, οἵους ᾄδουσι τοὺς Ἀλωάδας οἱ ποιηταί, οὓς ἡ τερατεία τοῦ σώματος εἰς ἄτοπα ἐξήνεγκε φαντάσματα καὶ ἀλλόκοτα, ὁρῶν τινας ἐποικοδομήσεις καὶ ἀναβαθμοὺς εἰς τὸν οὐρανόν.

36 b οὕτω δὲ καὶ Αἰθίοπες ἐχειροτόνουν τὸν βασιλέα, πήχει καὶ μέτρῳ γνωματεύοντες τὴν ἀρετήν. ὁ δὲ τῇ φύσει βασιλεύς, ὃν οὐχ ἵππος ἐποίησε χρεμετίσας, οὐδὲ κράνος χαλκοῦν ἀντὶ φιάλης, οὐδὲ γυνὴ Λυδὴ ὀργισθεῖσα ὅτι γυμνὴ ἄκουσα ἐφωράθη, φιλοσοφία δὲ μάλιστα δείξασα ὅτι κρείττων ἐστὶ τῶν ὑπηκόων.

36 c αὕτη γάρ ἐστι δι’ ἧς μόνης κρείττων γίνεται ἄνθρωπος ἀνθρώπου. τιάρα δὲ οὐ ποιεῖ βελτίω οὐδὲ κάνδυς οὐδὲ μανδύας οὐδὲ ἀκινάκης χρυσοῦς οὐδὲ στρεπτοί τε καὶ ψέλια οὐδὲ δορυφόροι καὶ ῥαβδοφόροι καὶ μηλοφόροι καί τις ἀθάνατος ἀριθμὸς ἀποθνησκόντων στρατιωτῶν. ταῦτα γὰρ ἅπαντα οἶμαι Καμβύσῃ ὑπῆρχε τῷ μαινομένῳ καὶ Ξέρξῃ τῷ ἀλαζόνι, ὃς οὐδὲ πλεῖν οὐδὲ βαδίζειν ἠνείχετο κατὰ ταὐτὰ τοῖς ἄλλοις ἀνθρώποις, ἀλλὰ μετεποίει καὶ ἐνήλλαττε τὴν πορείαν. τοιγαροῦν ἐδίωκον αὐτὸν φυγάδα ἐκ τῆς Ἑλλάδος ἄνδρες πένητες καὶ αὐτουργοὶ μετὰ φρονήσεως μόνης καὶ δικαιοσύνης, Θεμιστοκλῆς ὁ Νεοκλέους καὶ Ἀριστείδης ὁ Λυσιμάχου.

36 d ὃν δὲ φιλοσοφία δορυφορεῖ καὶ τιθηνεῖται, τούτου κρατοῦσιν ἐν μὲν θαλάττῃ πλέουσαι νῆες, ἐν δὲ γῇ πεζεύοντες οἱ στρατιῶται· εἴκει δὲ αὐτῷ καὶ δύσβατα ὄρη ἄνευ διωρυχῆς καὶ λειότερα γίνεται ὑπερβαίνοντι τῶν πεδινῶν τε καὶ χθαμαλῶν.

37 a ποταμὸς δὲ οὐκ ἐπιλείπει, ἀλλὰ καὶ πλημμυρῶν ὑπεραγωνίζεται καὶ διαμάχεται ὑπὲρ βασιλέως τῷ Ξέρξου ἐκγόνῳ. ἐξαρκεῖ δὲ αὐτῷ πολλάκις ὁ λόγος ἀντὶ τῶν ὅπλων καὶ τῶν στρατιωτῶν, καὶ οἱ μὲν ὁπλῖται ἑστήκασι κεκλιμένοι ἐπὶ τῶν ἀσπίδων, οἱ δὲ ἱππεῖς ἐγκεχαλινωμένοι τοὺς ἵππους, οἱ δὲ τοξόται τὰ τόξα ἀνέντες, οἱ δὲ σφενδονῖται χαλάσαντες τὰς σφενδόνας, βασιλεὺς δὲ μόνος καὶ ἄοπλος, ἄτερ αἰχμῆς, ἄτερ μαχαίρας, μονομαχεῖ ἐπὶ τοῦ βήματος, καὶ οὐδὲ τὼ χεῖρε προσενεγκὼν ἀφαιρεῖται τὴν ἁλουργίδα καὶ ἰδιώτην ἀποφαίνει τὸν ληρήσαντα τὴν βασιλείαν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

37 b ὡς δή τι σοφὸν ἡ τραγῳδία καὶ φθέγγεται ἐπάξια τῆς Μελπομένης· πολλὰ ἐξαιρεῖ λόγος, ἃ καὶ σίδηρος πολεμίων δράσειεν ἄν. καίτοι Περικλῆς ὁ Ξανθίππου, οὗ τοῖς χείλεσιν ἐπεκάθιζεν ἡ Πειθώ, πολλάκις ἀπὸ τοῦ βήματος τῶν Ἀθηναίων κατέβη ἀπαλλάξας ὡς οὐκ ἐβούλετο. ὅστις δὲ ἐν τοσαύταις μυριάσιν ἀνδρῶν προαδικησάντων καὶ ὅπλα ἐχόντων, ὧν οὔτε ἡ φύσις ἦν μία οὔτε ἡ γνώμη οὔτε ἡ γλῶττα, ἵσταται ὑψοῦ τε ἄτρεπτος καὶ ἀνέκπληκτος καὶ μόνῳ πέποιθε τῷ λόγῳ πρὸς τὸν ἀγῶνα, τοῦτον εὐλαβησόμεθα εἰπεῖν πρὸς φιλίου τὸν κορυφαῖον φιλόσοφον; ἀλλ’ Ὀρφέα μὲν συναριθμοῦμεν τοῖς σοφοῖς τε καὶ θεσπεσίοις ἀνδράσιν, εἴ τῳ πιθανὸς ὁ Ὀρφεύς, ὅτι ὄρνιθας καὶ βοτὰ ἐκήλει τῇ δυνάμει τῆς μουσικῆς, τὸν δὲ πραΰναντα καὶ διδάξαντα καὶ μαλάξαντα ἄνδρας λεόντων αὐθαδεστέρους ὀρρωδήσομεν οὕτω καλεῖν, ᾧ σεμνοτέρῳ ὀνόματι καλλωπίζοντες; Ὑμνοῦσι μὲν οὖν καὶ Σπαρτιᾶται ἀναίμακτόν τινα καὶ ἄδακρυν νίκην, δι’ ἧς Ἀρκάδων ἐκράτησαν μετὰ τὴν ἐν Λεύκτροις συμφοράν.

37 d ταύτης δὲ οὐκ οἶδα ἣν ἄν τις φαίη νίκην ἱεροπρεπεστέραν τε καὶ εὐαγεστέραν οὐδὲ φιλοσόφῳ μᾶλλον προσήκουσαν, ὁποίαν Πλάτων οὐκ ἐνίκησε Διονύσιον οὐδὲ Δίων ὁ Ἱππαρίνου, ἑταῖρος ὢν Πλάτωνος καὶ ἀκουστής, ἀλλὰ τριήρεις καὶ στρατιώτας συλλεξάμενος ἐξ Ἀκαδημίας, μόλις ἐξέωσε τὸν τύραννον τῆς πατρίδος, καὶ ἦν θέαμα ἄπιστον τοῖς τότε Ἕλλησι, Διονύσιος μετὰ τὴν τυραννίδα Συρακοσίων περιπατῶν ἐν τῷ Κρανείῳ.

38 a ὁπόσον δέ ἐστιν ὑπ’ ἀληθινοῦ φιλοσόφου λόγῳ ἁλῶναι ᾔσθετο ἀκριβῶς ὁ καὶ τοὔνομα καὶ τὴν ψυχὴν πάλαι στρατιώτης· μόνοι γὰρ οὗτοι νικῶσιν ἐπ’ ὠφελείᾳ τῶν ἡττωμένων. ποιεῖ οὖν αὐτὸν μετὰ τὴν νίκην ὁ βασιλεὺς μακροβιώτερον Ἀργανθωνίου, χορηγὸν ἀπράγμονος καὶ ῥᾳθύμου τρυφῆς, πάλαι ἂν ἴσως καὶ πρόπαλαι διελόμενον ὑπὸ τῶν παρ’ ἡλικίαν φροντίδων. Οὕτω δὲ ἄρα βασιλέως προμηθεῖται τὸ δαιμόνιον καθαρὰς φυλάξαι καὶ δικαίου φόνου τὰς χεῖρας μᾶλλον ἢ Φερεκύδου καὶ Πυθαγόρου, ὥστε καὶ τὸν ἕτερον τῶν τυράννων, ᾧ θάνατος ἐφ’ οἷς ἐπαρῴνησεν ἦν ἀναγκαῖος, συνήλασέ τε καὶ συνηνάγκασεν ἑαυτοῦ γενέσθαι τυραννοκτόνον.

38 b Ἀλλ’ ἵνα μὴ θέοντες, τὸ τοῦ λόγου, τυφλὰ τέκωμεν καὶ ἀτελῆ, μικρὸν ἐπιστήσαντες, εἰ δοκεῖ, καὶ διαναπαυσάμενοι ἐκ τοῦ δρόμου σκοπῶμεν καὶ ἐξετάζωμεν, εἰ ἄρα ἕτερον αὐτῷ ποιητέον ἐστὶ φιλοσόφου ἀνδρὸς σημεῖον, εἰ θεοφιλής τε εἴη καὶ τὰ πράγματα ἄνωθεν αὐτῷ κυβερνῷτο.

38 c καὶ ὅταν φαίνηται ἀληθὲς τοῦτο καὶ ξυνδοκῇ, αὖθις αὖ πάλιν ἐπιβλεπτέον, εἰ πανταχοῦ τοῖς ἔργοις τοῦ βασιλέως τὰ σύμβολα ἐπίκειται ἐκφανῆ τῆς ἐκ τοῦ οὐρανοῦ προμηθείας. ἀθρεῖτε οὖν ὧδε. Ἦν που καὶ ἐφαίνετο, ἀναγκαῖον ἢ τὰ ὑπάρχοντα ἀγαπῶντα τὸν βασιλέα μοῖραν ὀλίγην κεκτῆσθαι τῆς πατρῴας ἀρχῆς, ἢ τοῦ ξύμπαντος ὀριγνώμενον πρὸς τοὺς συναίμους τὰ ὅπλα κινεῖν καὶ στασιάζειν. ὁρᾶτε οὖν τὴν τοῦ δαιμονίου σοφίαν.

38 d σχεδὸν γὰρ καὶ ὥσπερ ἐπὶ σκηνῆς ὁ τοῦ δράματος ποιητὴς δεινόν τι καὶ φοβερὸν πάθημα πολλάκις ἐπικρεμάσας τοῖς θεωμένοις κᾆτα παραλόγως ἐκ μηχανῆς λύσιν εὕρετο τῷ δράματι τῆς δυσχερείας, οὕτω καὶ ὁ τῶν ἀληθινῶν παθημάτων μυθοποιὸς περιστήσας ἔνθεν καὶ ἔνθεν τῷ βασιλεῖ ἢ ἀδικίας ἀνάγκην ἢ ἀνανδρίας, ὅμως ἐπήγαγε μηχανὰς ὥστε ἄμφω διαφυγεῖν, μᾶλλον δὲ ὥστε ἔμπαλιν ἄμφω συμβῆναι. οὐ γὰρ ἀδικήσας τοὺς ἀδελφούς, ἀλλὰ τοὐναντίον τῷ μὲν συναλγήσας, τοῦ δὲ καὶ πάνυ ὑπεραλγήσας ὑπὸ τῆς ἄγαν φιλαδελφίας μόνος ἐγκρατής ἐστι τῶν πατρῴων.

39 a εἶεν. Τὸ δὲ δὴ Πέρσας τοὺς δυσωνύμους σχολὴν μὲν ἄγοντι μὴ παύεσθαι ἐνοχλοῦντας, ἀσχολουμένου δὲ σχεδόν τι ἀπολωλέναι, ἆρα οὐκ ἐναργὲς ἐκείνης τῆς συμμαχίας σημεῖον; φαίνεται γὰρ ὁ θεός, καθάπερ ἐν μακρᾷ παρατάξει, πολλῶν πολεμίων ἀντιμεθιστάμενος πρὸς τὸ πονούμενον κέρας τῷ βασιλεῖ. Ἀφήσετε οὖν με λοιπὸν τοῦ συμβολαίου, ἢ οὔπω δοκῶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἱκανῶς ὑμῖν διαλελύσθαι; καὶ μὴν ἔοικα μετὰ σπουδῆς καὶ προθυμίας ἀνασχομένοις ὑμῖν οὐ κατὰ σμικρὸν διαριθμῆσαι τοὺς λόγους ὥσπερ νόμισμα ἐπὶ τραπέζης, ἀλλ’ εἰκῆ καὶ ἀθρόως ἐπιδραττομένοις, εἰκότως ἄρα καὶ ἀπιστεῖσθαι ὡς οὐ πᾶν τὸ ὄφλημα ἀποτίσας.

39 b αὐτίκα τὴν περὶ τὸ σῶμα φιλοσοφίαν καὶ καρτερίαν εἶπον μέν, εἶπον δ’ ἐν βραχεῖ συλλαβών. εἰ δὲ ἐθελήσαιμι ἐνδιατρίβειν καὶ ἐνσχολάζειν, φανείη ἂν καὶ τὸ σμικρὸν τοῦτο μέγα τε ὑμῖν καὶ πολλοῦ ἄξιον, ὅτι δὴ σῶμα βασιλικὸν στερεώτερόν ἐστιν ἀδάμαντος ὑπὸ τῶν πόνων· οὕτω ῥᾷστα αὐτὸ καὶ εὐκόλως πιέζει μὲν ἐνδείᾳ, δίψει δὲ ἀνιᾷ, θυραυλίᾳ δὲ ἐποτρύνει, προβάλλει δὲ χειμῶνι, καύματι δὲ ἐπιδίδωσιν.

39 c ὁ δὲ Ἀλέξανδρος ἐκεῖνος Δαρείου μὲν ἐκράτει, Κύδνου δὲ ἡττήθη τοῦ ποταμοῦ ψυχροῦ ῥέοντος καὶ διαυγοῦς, καὶ πολλὰ ἀνέτλη καὶ δεινὰ πολλάκις ὑπὸ ταύτης τῆς ἀκρασίας, ὥστε καὶ ἐν τῷ θέρει νιφετὸν περιεφέρετο, καὶ ἦν αὐτῷ μοῖρα τῆς ἐπ’ Ἰνδοὺς παρασκευῆς, ὁ κρύσταλλος καὶ οἱ ψυκτῆρες.

39 d βασιλεὺς δὲ οὐ φιλονεικεῖ πρὸς τὰς ὥρας, ἀλλὰ καὶ ταύτῃ ἕπεται τῷ θεῷ. οὐδὲ γὰρ ὅσα αὐτὴ ἡ ὥρα φύει πρὸς ἑαυτὴν ἀτέχναστα καὶ ἕτοιμα παραμύθια, οὐδὲ τούτων ἁλίσκεται παρὰ τὸ ξυμφέρον. Ἀλλ’ ἐὰν ἅπαξ, ὦ μακάριοι, λεπτουργεῖν ἐπιτρέψωμεν καὶ ἀπομηκύνειν τὸν λόγον, πόρρω ἡμᾶς εὖ ἴστε ἐξοίσει.

40 a ἐπιθετέον οὖν σφραγῖδα τοῖς εἰρημένοις, ἣν αὐτὸς ἔναγχος ἐπέθηκε βασιλεὺς πάνυ λαμπράν τε καὶ νεουργόν. οὕτω γὰρ τῷ ὄντι φιλόσοφός ἐστιν ὁ γενναῖος ὥστε καὶ τὸν συνάρχοντα φιλόσοφον ἐποιήσατο, οὐχ ὅτι προσήκει αὐτῷ κατὰ γένος, ἀλλ’ ὅτι αὐτῷ κατὰ τὴν ἀρετὴν ἀγχιστεύει. οὔκουν δεοίμην ἂν εὔχεσθαι ἔτι, καθάπερ ὁ πάνσοφος Πλάτων, ὑπὲρ τοῦ κοινοῦ γένους τοῦ ἀνθρωπίνου, ξυνδραμεῖν ποτε βασιλείᾳ φιλοσοφίαν καὶ συμπορευθῆναι, μηδὲ διεσπάσθαι ἀεὶ καὶ ἀπερρωγέναι· ἀλλ’ ἔνεστι καὶ ἀπολαύειν καὶ ἐμφορεῖσθαι τοῦ ἀνελπίστου θεάματος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org